## ΙΗ΄. Περὶ Θάμνων.

Τῶν δὲ φυτῶν τὸ μεῖζον καὶ σκληρότερον τῆς βοτάνης θάμνος καλεῖται. Εἰσὶ δὲ, ἐν μὲν ταῖς ὄχθαις τῶν ποταμῶν καὶ λίμναις σχοῖνος, σχοῖνος ἄνοζος. φάλαγγας ἔχων· ἔνδον δὲ τούτων κοῖλος κάλαμος, γόνατα ἔχων. Ἡ δ' ἄμπελος κλήματα φέρει· τὰ δὲ, ἕλικας, οἴναρα, καὶ βότρυς· αἱ δὲ σταφυλαὶ ῥάγας φέρουσιν· ἐξ ὧν οἶνος ἀποθλίβεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΒΛΕΠΩΝ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΙΗ΄. Περὶ Ὀρνίθων.

Τοῦ δὲ ζώου ἴδιον τὸ ζῆν, *αἰσθάνεσθαι*, κινεῖσθαι, γεννᾶσθαι, ἀποθνήσκειν, τρέφεσθαι, αὔξεσθαι, ἵστασθαι, κάθησθαι, κεῖσθαι, βαδίζειν. Καὶ ταῦτα μὲν κοινὰ παντὶ ζώῳ· ἡ δ' ὄρνις πτίλοις καλύπτεται, πτεροῖς ἵπταται· ἑκάστῃ δὲ δύο αἱ πτέρυγες, καὶ πόδες ἴσοι· ῥάμφος δὲ ἔχει, δι' οὗ ἐσθίει, καὶ ὀῤῥοπύγειον τὸ ὄπισθεν δὴ μέρος. Τούτων δ' ἡ θήλεια ὠὰ τίκτει ἐν τῇ νεοττιᾷ εἴτ' οὖν καλιᾷ, καὶ ἐπωάζουσα, νεοσσοὺς φύει. Τοῦ δὲ ὠοῦ τὸ μὲν ἐκτὸς κέλυφος. τὸ δὲ, λευκόν· καὶ χρυσοῦν τὸ ἔνδον λέγεται καὶ λέκιθος.

## ΙΘ΄. Περὶ τῶν Κατοικιδίων Ὀρνίθων.

Τῶν συνήθων ἐν οἴκοις Ὀρνίθων, ὁ μὲν ἀλέκτωρ, ἢ ἀλεκτρυών, ὃς ἐπὶ τῆς κεφαλῆς λόφον ἔχει κυρβασίαν λεγόμενον, τῷ τε καλλαίῳ ὑπὸ ταῖς σιαγῶσι κεκόσμηται, καὶ πλήκτροις τοῖς ποσὶ, δι' ὧν μάχεται· ὁ δ' ἐκτετμημένος τῶν ἀλεκτρυόνων ἐκτομίας λέγεται· οἰκεῖ δὲ ἐν τῷ ὀρνιθονομείῳ· ἡ δ' ἀλεκτορὶς, θήλεια οὖσα, κόπρους σκαλεύειν εἴωθεν ἑαυτῆς καὶ τῶν τέκνων ἕνεκεν. Αἱ δὲ περιστεραὶ ἐν τῷ περιστερῶνι τρέφονται. Αἱ δὲ ἀφρικαναὶ μελεαγρίδες, κατάστικτα τὰ ὠὰ τίκτουσιν· τῶν δὲ χηνῶν αἱ θήλειαι, λευκὰ κατὰ τὰ τῶν ἀλεκτο-

Ε.Δ. τμ. Κ.Τ.Σ. ΙΩΑΝΝΙΝΑ 2006

ρίδων, μείζω μέν τοι, ὡς εἰκός. Ὁ δὲ ταὼς ἐπὶ τῇ ποικιλίᾳ τῶν πτερῶν ἀγάλλεται. Ὁ πελαργὸς δὲ ἐπὶ τοῦ στέγους πηγνύων τὴν καλιὰν αὐτοῦ, νεοττοποιεῖ. Τῶν δ' ἄλλων ἡ χελιδὼν, ὁ στρουθὸς, ἡ κίττα, ὁ κολοιὸς, ἡ νυκτερὶς, μῦς οὖσα πτερώδης· ταῦτα περιίπτανται τὰς οἰκίας.

## Κ΄. Περὶ Ὠδικῶν Ὀρνίθων.

Τῶν δ' Ὠδικῶν Ὀρνίθων ἡ ἀηδὼν πασῶν ἥδιστον ᾄδει· τῶν δ' ἄλλων ὁ μὲν κορυδαλὸς, εἰς ἀέρα ἀνιπτάμενος, ψιθυρίζει· ὁ δὲ ὄρτυξ, ἐπὶ γῆς καθήμενος, τρυλίζει· αἱ δὲ λοιπαὶ, ἐπὶ τοῖς τῶν δένδρων κλάδοις καθήμεναι, κατὰ τὴν ἰδίαν ἑκάστη κελαδοῦσι φωνήν· οἷον· χλωρὶς, σπῖνος ἢ σπίζα, χρυσόμιτρις, ἀκανθὶς, λιγνὶς, αἰγιθαλὸς, ἴκτερος, ἐρυθακὸς, ἐπιλαΐς. Ὁ δὲ ψιττακὸς ἢ ψιττάκη, ὁ κόσσυφος, ὁ ψὰρ. ἡ κίττα, καὶ ὁ κολοιὸς, μιμητικά εἰσι τῆς ἀνθρωπίνης φωνῆς.

## ΚΑ΄. Περὶ Ὀρνίθων ἀγρίων.

Ἄγριαι δὲ Ὄρνιθές εἰσιν αἱ ἐν ὕλαις διαιτώμεναι· ὧν ὁ μὲν στρουθὸς ἢ στρουθοκάμηλος ὀρνίθων πασῶν μέγιστός ἐστιν· ὁ δὲ τροχίλος ὁ ἐλάχιστος· ἡ δὲ γλαῦξ, ζώων πάντων τὸ εὐκαταφρονητότατον· ὁ δ' ἔποψ, κοπροφάγος· ὁ δ' ἴτυς, ἡ ὠτὶς, τέτριξ, ἀτταγὴν, πέρδιξ, κίχλη, τῶν ἀγρίων εἰσὶν ὀρνίθων· ἔτι δὲ καὶ γέρανος ὁ ἀγρυπνότατος, τρυγὼν ἡ τρύζουσα, κόκκυξ ὁ κοκκύζων, κορώνη ἡ κρώζουσα· καὶ τὰ λοιπά.

## ΚΒ΄. Περὶ Σαρκοφάγων Ὀρνέων.

Σαρκοφάγα δ' εἰσὶν ὄρνεα· ὁ ἀετὸς, βασιλεὺς ὀρνέων ἁπάντων·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ οὗ λέγεται, καὶ πρὸς ἥλιον ἀτενῶς ὁρῶντα, μὴ διαβλάπτεσθαι τὴν ὄψιν· ὁ γύψ, ὁ κόραξ· ταῦτα γὰρ πτώμασιν εἴτ' οὖν νεκροῖς τρέφεται σώμασιν· Ὁ δ' ἰκτῖνος, τοὺς νεοσσοὺς διώκων τῆς ἀλοκτορίδος, συλλαβὼν, κατεσθίει· ὁ δὲ σπιζίας καὶ ἱέραξ, τοὺς ἀλεκτρυόνας, τὰς περιστερὰς, καὶ τὰ τοιαῦτα ἁρπάζοντες, βρῶμα ἥδιςον ἑαυτοῖς παρατιθέασιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΥΠΕΥΘΥΝΟΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΚΓ'. Περὶ Ἐνύδρων Ὀρνέων.

Ἔνυδρα δὲ ὀρνεά εἰσιν ὁ κύκνος, ὁ χὴν, ἡ νῆσσα· ταῦτα γὰρ νήχονται ἐπὶ τῶν ὑδάτων· ὁ δέ τοι λάρος καὶ ἡ αἴθεια καὶ εἰσδύουσιν εἰς τὸ ὕδωρ. Τούτοις δὲ προσκείσθω καὶ ὁ πελεκάνος. Ὁ δέ τοι ἐρωδιὸς ἐπὶ τῆς ὄχθης ἱστάμενος, τὸ ῥάμφος εἰς τὸ ὕδωρ ἐνθεὶς, ζωγρεῖ τοὺς ἰχθύας· Ὁ δὲ Ὄρχιλος τὸ ῥάμφος τῷ ὕδατι ἐνθεὶς, μυκᾶται ὡς βοῦς· διὸ καὶ σαλπιγκτὴς λέγεται· Ἡ δὲ σεισοπυγὶς τὴν πυγὴν εἴτ' οὖν τὸ ὀῤῥοπύγιον ἀεὶ σείει.

## ΚΔ'. Περὶ Ἐντόμων πτηνῶν.

Τῶν δὲ ἐντόμων ἡ μὲν μέλισσα τὸ μέλι ἐργάζεται, τὰ κηρία ἐν τοῖς σύμβλοις φιλοπόνως τεχνεύουσα· ὁ δὲ κηφὴν ἀργὸς ἐσθείει τὸ μέλι· ἡ δ' ἀνθρήνη καὶ σφὴξ βλάπτουσι τῷ κέντρῳ· ὁ δ' οἶςρος πολύ τι ἐνοχλεῖ τὰ κτήνη, καὶ μάλιστα τὰς βοῦς, ἀνθρώπους δὲ αἱ μυῖαι καὶ αἱ κώνωπες καὶ σκνίπες. Καὶ ὁ μὲν γρῖλλος ᾄδει· ἡ δὲ ἀκρὶς ἐπιβόσκεται τῶν σπορίμων, καὶ βλάπτει αὐτά· ἡ δὲ χρυσαλὶς πτηνή ἐστι κάμπη· καὶ ὁ μὲν κάνθαρος καλύπτει τὰς πτέρυγας, τοῖς κολεοῖς κολεόπτερος ὤν: ἡ δὲ πυγολαμπὴς νυκτὸς λάμπει· οἱ σῆτες δὲ καταβιβρώσκουσι τὰ ἱμάτια· ὁ δὲ τέττιξ ᾄδει. ἦρος φανέντος.

Ε.Υ. Δ.τος Κ.Τ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕ΄. Περὶ Φωνῶν τῶν Ὀρνίθων.

Εἴποις ἂν τὸν μὲν ἀετὸν κλάζειν· τὸν δὲ γερανὸν κλαγγάζειν· τὸν δ' ἱέρακα ῥύζειν, τὸν ἀλεκτρυόνα φωνεῖν καὶ ᾄδειν· τὸν δὲ κόκκυγα κοκκύζειν· τὸν δὲ πέρδικα τιττυβίζειν· τριλίζειν δὲ ἢ γριλίζειν τὸν ὄρτυγα· ᾄδειν δὲ τὸν κύκνον· καὶ τὴν τρυγόνα τρύζειν· γογγύζειν δὲ τὴν περιστερὰν, καὶ τὴν κορώνην κρώζειν· τὸν κολοιὸν κλώζειν ἢ κολωᾷν· τὸν κόψιγον σίζειν, τὸν τέττιγα τερετίζειν· τὸν ἔποπα ποππύζειν· τὴν γλαῦκα νύζειν· τὴν μελεαγρίδα κακκάζειν· τὴν νυκτερίδα τρίζειν. τὴν κίτταν κιτταβίζειν· τὴν χελιδόνα ψιθυρίζειν, τὴν ἀηδόνα εὐστομεῖν· τὸν χῆνα παππάζειν· τὴν μέλιτταν βομβεῖν.

## Κϛ΄. Περὶ ἡμέρων τετραπόδων.

Τῶν δὲ τετραπόδων ἥμερα μέν εἰσιν ὁ κύων, οὗ ὁ γόνος σκύλαξ καλεῖται· ἔστι δὲ φύλαξ τῆς οἰκίας· ἡ γαλῆ, πᾶσαν τὴν οἰκίαν ἀνακαθαίρουσα τῶν μυῶν, ὅπερ καὶ ἡ παγὶς πολλάκις ποιεῖ· ὁ δὲ σκίουρος, ὁ πίθηκος, καὶ ὁ κερκοπίθηκος, πρὸς ἡδονὴν ἐν οἴκοις τρέφονται, μηδὲν ὠφελοῦντα· ὁ δὲ μυωξὸς, καὶ οἱ μείζους τῶν μυῶν βλάβην ποιοῦσιν ἐν οἰκίᾳ ὄντες.

## ΚΖ΄. Περὶ βοσκημάτων.

Τῶν δὲ βοσκημάτων ὁ μὲν ταῦρος, ἡ βοῦς, ἡ δάμαλις, ὁ μόσχος, τριχώμασι καλύπτονται, ὁ δὲ κριὸς, τὸ πρόβατον, ἡ ὄϊς μετὰ τοῦ ἀρνίου, ἔρια παρέχουσιν ἡμῖν· ὁ δὲ τράγος, ἡ αἶξ, μετὰ τοῦ ἐρίφου, πόκον, ὁ δὲ χοῖρος, ὁ ὗς, χαίτας ἔχουσιν, ἀλλ' οὐ κέρατα· εἰσὶ μέντοι πάντα ταῦτα δίχηλα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ... Ε.Υ.Δ της Κ.τ. ΙΩΑΝΝΙΝΑ 2006

## ΚΗ΄. Περὶ Κτηνῶν.

Κτήνη δέ εἰσιν ὁ ὄνος, ἡ ἡμίονος, ὁ ἵππος, ταῦτα γὰρ τὰ φορτία βαστάζουσι· τοῦ δὲ ἵππου, οὗ αἱ χαῖται κόσμος, καὶ ἡμεῖς αὐτοὶ ἐπιβαίνομεν. Ἡ κάμηλος δὲ ἀχθοφόρον ἐστὶ ζῶον, πλείω τῶν ἄλλων φόρτον αἴρειν δυναμένη· ὁ δ' ἐλέφας μέγας τέ ἐστι, καὶ τὴν φορβὴν τῇ προβοσκίδι ἕλκει· δύο δὲ προφαίνει, ὀδόντας λευκούς· καὶ δύναται περὶ τριάκοντα ἄνδρας βαστάζειν.

## ΚΘ΄. Περὶ Θηρῶν.

Τῶν δὲ θηρῶν ὁ βούβαλος ἄγριός ἐστι βοῦς, ὁ δὲ ἄλκης ἵππου μὲν μείζων, κέρατα δὲ ἔχει μετὰ κλάδων, καθάπερ ἡ ἔλαφος. Ἀλλ' ἡ δόρξ, ἢ δορκὰς, καὶ ὁ νεβρὸς οὐκ ἔχει· ὁ δ' αἰγόκερως ἔχει κέρατα μείζω τῶν τῆς δορκάδος. Ὁ δέ τοι μονόκερως, ἓν μὲν ἔχει κατὰ τὸ μέτωπον κέρας, ἀλλὰ τιμιώτατον, διὰ τὸ γλυκαίνειν τὰ ὕδατα, εἰ μὴ μῦθος ᾖ τὰ λεγόμενα. Καὶ ὁ μὲν κάπρος εἴ τ' οὖν σύαγρος θήγει τοὺς ὀδόντας· ὁ δὲ λαγωὸς δειλός ἐστιν· ὁ δὲ δασύπους σκάπτει τὴν γῆν· καθάπερ ὁ ἀσπάλαξ, γηλόφους ἐγείρων. Ταῦτα δὲ πάντα θηρατά εἰσι, καὶ διὰ τοῦτο θῆρες καλοῦνται.

## Λ΄. Περὶ Θηρίων.

Θηρία δὲ λέγεται, τὰ ὀξεῖς ἔχοντα τοὺς ὄνυχας καὶ ὀδόντας. καὶ σαρκοφάγα ὄντα. Τούτων ὁ μὲν λέων βασιλεύς ἐστι πάντων τῶν τετραπόδων, κεφαλὴν καὶ στέρνα χαιτόεντα ἔχων· τὴν δὲ λέαιναν ἀλκιμωτέραν φασὶ τοῦ λέοντος· ἡ δέ τοι πάρδαλις ποικίλον ἔχει τὸ δέρμα· ἡ δὲ τίγρις ἀγριωτάτη θηρίων ἁπάντων. Καὶ ἡ μὲν ἄρκτος λάσιος, ὁ δὲ λύκος ἅρπαξ· ἡ δὲ λύγξ, ὀξυδερκεστάτη· ἡ δ' ἀλώπηξ, κέρκον ἔχουσα, πανουργοτάτη θηρίων ἐστίν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## ΛΑ΄. Περὶ Ὄφεων καὶ Ἑρπετῶν.

Τῶν δὲ ὄφεων ἴδιον τὸ ἕρπειν. Καὶ ὁ μὲν ἐν τῇ ὕλῃ διαιτώμενος καλεῖται ὄφις· ὁ δ' ἐν ὕδασιν ὕδρος· ἡ δ' ἔχις ἐν πέτραις διαιτᾶται· ἡ δ' ἀσπὶς ἐν τοῖς οἴκοις· ἡ δὲ τυφλαίνα τυφλή ἐστι. Πόδας δ' ἔχουσι ταῦτα· ὁ σαῦρος, ἡ σαλαμάνδρα, περὶ ἧς φασι καὶ ἐν πυρὶ ζῆν· ὁ δὲ δράκων, ὄφις πτερωτὸς, τῇ ἐκπνοῇ κτείνων· ὁ δὲ βασιλίσκος τοῖς ὄμμασιν, ὡς πάλαι ἐμυθεύετο· ὁ δὲ σκορπῖος πλήττει τῷ τῆς οὐρᾶς κέντρῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΛΒ΄. Περὶ φωνῶν τῶν ζώων.

Εἴποις ἂν τὸν μὲν κύνα ὑλακτεῖν, ὅθεν ὑλαγμός· τὸν δὲ λύκον ὠρύεσθαι, ὅθεν ὀρυγμός· χρεμετίζειν δὲ τὸν ἵππον, ὅθεν χρεμετισμός· μυκᾶσθαι δὲ τὸν βοῦν, ὅθεν μυκηθμός· βληχᾶσθαι δὲ τὸ πρόβατον, ὅθεν βληχή· μηκᾶσθαι δὲ τὴν αἶγα, ὅθεν μηκαγμός· ὀγκᾶσθαι δὲ τὸν ὄνον, ὅθεν ὀγκηθμός· βρωμᾶσθαι δὲ τὰς ἡμιόνους, ὅθεν βρώμησις· βρυχᾶσθαι δὲ τὸν λέοντα, ὅθεν βρυχηθμός. Ἐπὶ δὲ τῶν ἄλλων ἀγρίων ζώων, ὧν ἴδιον τῆς φωνῆς οὐκ ἔστιν ὄνομα· οἷον. ἄρκτου, παρδάλεως, καὶ πάνθηρος, βρυχᾶσθαι λέγουσιν· ἐπὶ δὲ τῶν μικροτέρων· οἷον· ἀλωπέκων, θώων, λυγκῶν, ὑλακτεῖν καὶ ὠρύεσθαι. Τῶν δέ τοι ὄφεων ἴδιον τὸ συρίττειν, καὶ μάλιστα τοῦ δράκοντος.

## ΛΓ΄. Περὶ ἑρπετῶν ἐντόμων.

Τῶν δ' ἐντόμων ἑρπετῶν ὁ μὲν σκώληξ, ἡ ἕλμινς γῆν ἐσθίει. ἡ δὲ κάμπη τὰ φυτὰ ἐπιβόσκεται· ὁ δὲ τέττιξ, τοὺς καρπούς· ἡ δὲ κανθαρὶς, τὸν σῖτον· ὁ δὲ τερηδὼν, τὰ ξύλα· ὁ δὲ σὴς, τὰς ἐσθῆτας καὶ βίβλους· καὶ οἱ σῆπες, τὸ κρέας καὶ τυρόν. Καὶ ἡ μὲν

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ψύλλα ἅλλεται· ὁ δὲ φθεὶρ, καὶ κόρις δάκνουσιν· ἡ δὲ κυνόμυια, ὥς περ βδέλλα ἐκμυζᾷ τὸ αἷμα· ὁ δὲ βόμβυξ, σκώληξ ἐστὶν, ἀφ' οὗ τὸ σηρικὸν νῆμα· ὁ δὲ μύρμηξ φιλόπονόν ἐστι ζῶον· ὁ δ' ἀράχνης, δι' οὗ περ ὑφαίνει ἀράχνιον, θηρεύει τὰς μυίας· καὶ ὁ κοχλίας τὸ οἰκίδιον αὐτοῦ ἀεὶ μεθ' ἑαυτοῦ περιφέρει.

## ΛΔ΄. Περὶ τῶν ἀμφιβίων.

Ἀμφίβια λέγεται, ὅσα ἐπὶ γῆς καὶ ἐν ὕδατι τὴν δίαιταν ποιεῖται· εἰσὶ δὲ ταῦτα· ὁ κροκόδειλος, ἀγριώτατον θηρίον ἐν Νείλῳ ποταμῷ διαιτώμενον κατὰ τὴν Αἴγυπτον· ὁ κάστωρ, χηνείους πόδας πρὸς τὸ νήχεσθαι, καὶ λεπιδωτὴν οὐρὰν ἔχων· ἡ ἐνυδρὶς, καὶ βάτραχος κοάζων, καὶ μέγα βοῶν ἐν τοῖς ὕδασιν· ἔστι δὲ καὶ χερσαῖος βάτραχος· ἡ δὲ χελώνη τὰ ἄνω καὶ τὰ κάτω ὀστράκοις ἐστὶ κεκαλυμμένη, ὥσπερ θυρεῷ.

## ΛΕ΄. Περὶ ποταμίων καὶ λιμναίων ἰχθύων.

Οἱ δ' ἰχθύες πτέρυγας ἔχουσι, δι' ὧν νήχονται, καὶ βράγχια, δι' ὧν ἀναπνέουσι, καὶ ἀκάνθας ἀντὶ ὀστέων· πρὸς δὲ τούτοις ὁ μὲν ἄῤῥην θορὸν ἔχει, ὠὰ δὲ τὸ θῆλυ. Τούτων δὲ οἱ μὲν λεπιδωτοί εἰσιν, οἱ δὲ, μαλακόδερμοι, λεῖον ἔχοντες τὸ δέρμα. Τῶν οὖν ποταμίων καὶ λιμναίων ἰχθύων λεπίδας ἔχουσιν, ὁ κυπρῖνος, ὁ λάβραξ, μαλακόδερμοι δὲ, ἡ ἔγχελις, καὶ γαλῆ ἡ θαλάσσιος· ὁ δὲ σίλλουρος μέγας ἐστιν ἰχθῦς· αἱ δ' ἀφύαι, μικροὶ ἰχθύες εἰσὶ, καὶ ἀγεληδὸν νήχονται. Εἰσὶ δὲ καὶ ἄλλα εἴδη ἰχθύων· οἷον· πέρκη, λευκίσκος, τριγλὶς, θύμαλος, τρώκτυς, κωβιός, ψύλων. Ὁ δὲ καρκῖνος ὀστράκῳ περικαλύπτεται, χηλάς τε ἔχει, καὶ λοξὰ βαίνει· ἡ δὲ βδέλλα, ἐκμυζᾷ τὸ αἷμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Λϛʹ. Περὶ τῶν ἐν πελάγει Ἰχθύων, καὶ περὶ Ὀστρακοδέρμων.

Ἰχθῦς δ' ἐν πελάγει εἰσὶ τὸ κῆτος· πάντων τῶν ἐν πελάγεσιν ἰχθύων ὁ μέγιστος· ὁ δελφὶς, ἡ δελφὶν, τάχιστος ἐν τῷ νήχεσθαι· θύννος, καὶ βάτος τερατωδέστατος ἰχθῦς· ἐν τούτιος δ' εἰσὶ καὶ ἡ μύραινα, καὶ ὁ σαλμών. Εἰσὶ δὲ καὶ πτηνοὶ ἰχθύες, οἷα ἡ χελιδών. Προσκείσθω δὲ τούτοις καὶ ἡ μαινὶς, καὶ ἡ ψίττα, καὶ ὁ οἰνίσκος. Οὐμὴν ἀλλὰ καὶ τὰ ἐν πελάγεσι τεράστια· οἷον· φώκη, καὶ ἱπποπόταμος. Ὀστρακόδερμα δέ εἰσιν ἡ κόγχη, τὸ ὄστρεον.

## ΛΖʹ. Περὶ τῶν ἡλικιῶν τοῦ ἀνθρώπου.

Ὁ ἄνθρωπος ἐκ σπέρματος συλλαμβάνεται ἐν τῇ μήτρᾳ τῆς μητρὸς, καὶ ὢν ἐν τῇ κοιλίᾳ, λέγεται ἔμβρυον· εὐθὺς δὲ μετὰ τὴν γέννησιν καλεῖται βρέφος ἢ παιδίον· εἶτα παῖς γίνεται· ἔπειτα μεῖραξ ἢ ἔφηβος, μετὰ ταῦτα νεανίας ἢ ἠΐθεος· ἀνὴρ δ' ἐπὶ τούτοις· γέρων δ' ἔπειτα, καὶ τελευταῖον πρεσβύτης· Οὕτω δέ ἐστι θεωρῆσαι, καὶ τὰς μετὰ τὴν γέννησιν τοῦ θήλεος ἡλικίας· κοράσιον γὰρ λέγομεν ἢ κόριον, εἶτα κόρην ἢ παῖδα· παρθένον δὲ μετὰ ταῦτα ἢ νεάνιδα· γυναῖκα ἔπειτα· γραῦν, καὶ πρεσβύτιδα.

## ΛΗʹ. Πε ὶ τῶν ἐκτὸς μελῶν τοῦ ἀνθρώπου.

Τῶν δὲ μελῶν τοῦ ἀνθρώπου τὰ ἐκτός εἰσι ταῦτα· τοιαύτην πρὸς ἄλληλα ἔχοντα τάξιν· Ἡ μὲν κεφαλὴ ὑπέρκειται, τὸν ἀνώτατον τοῦ σώματος ἔχουσα τόπον· οἱ δὲ πόδες τῷ ὅλῳ ὑπόκεινται σώματι. Τοῦ δὲ τραχήλου, τοῖς ὤμοις ὁριζομένου, τὸ μὲν ἔμπροσθεν, σφαγὴ ἢ δειρή· αὐχὴν δὲ τὸ ὄπισθεν ὀνομάζεται μέρος. Μετὰ δὲ τὸν τράχηλον ἕπεται τὸ στῆθος, ἢ στέρνον μὲν ἔμπροσθεν, τὰ νῶτα δὲ ὄπισθεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

Ὑπὸ δὲ τὸ στῆθος γαστήρ ἐστιν, ἧς ἐν μέσῳ ὁ ὀμφαλός· ὥσπερ ὑπὸ τὰ νῶτα αἱ ὠμοπλάται· ἀφ' ὧν οἱ ὦμοι· ὧν τὰ πέρατα ἀκρώμια λέγεται. Ἐκ τῶν ὤμων δὲ κρέμανται αἱ χεῖρες· ὧν τὰ μὲν μετὰ τοὺς ὤμους, βραχίονες, τὰ δὲ μετὰ ταῦτα ὠλέναι καὶ πήχεις καλοῦνται· ἀγκὼν δὲ καὶ ὠλέκρανον τὸ συνέχον ἀμφότερα· τῶν δὲ χειρῶν ἡ μὲν δεξιά, ἡ δὲ ἀριστερὰ λέγεται καὶ λαιά. Ἐν δὲ τοῖς ὄπισθεν μετὰ τὰς ὠμοπλάτας ἐστὶν ἡ ὀσφῦς· εἶτα αἱ ψόαι· ἅμα τοῖς ἰσχίοις· καὶ οἱ ἐν τῷ πρωκτῷ γλουτοί, ἢ γοῦν αἱ πυγαί. Οἱ δὲ πόδες συνίστανται ἐκ τῶν μηρῶν, τοῖς σκέλεσι διαιρούμενοι· μετὰ δὲ τοὺς μηρούς, τὰ γόνατά εἰσιν· ἔπειτα αἱ κνῆμαι, καὶ γαστροκνήμιον· εἶτα ἀστράγαλοι, πτέρνα, καὶ δάκτυλοι. Τὸ δὲ μεταξὺ πτέρνας καὶ δακτύλων, ᾧ μὲν πατοῦμεν πέλμα καλεῖται· τὸ δὲ τούτου κοῖλον θέναρ, κοτύλη, καὶ γύαλον· ταρσὸς δὲ τὸ ἄνω.

## ΛΘ΄. Περὶ τῶν περὶ τὴν κεφαλήν.

Ἐπὶ δὲ τῆς κεφαλῆς τρίχες εἰσίν· ἅς περ κόμην μὲν ὀνομάζομεν, τῷ δὲ κτενὶ κτενίζειν εἰώθαμεν· ὦτα, κρόταφοι, καὶ τὸ πρόσωπον. Ἐν δὲ τῷ προσώπῳ εἰσὶ τὸ μέτωπον, οἱ ὀφθαλμοί, ὁ μυκτὴρ ἢ ῥίς, μετὰ δυοῖν ῥινίων, ἢ μυξωτήρων, τὸ στόμα, αἱ παρειαί, αἱ γνάθοι, αἱ σιαγῶνες, τὸ γένειον, ᾧ ἐπιφύεται πώγων ἐν ἀνδράσι. Καὶ τὸ μὲν στόμα τοῖς χείλεσι περιέχεται· τούτων δ' ἐπὶ τοῦ ἀνωτέρου μύσταξ φύεται. Ἡ δὲ γλῶσσα, καὶ ἡ ὑπερῴα τοῖς ὀδοῦσι διὰ τῆς γαμφήλης ἢ γοῦν σιαγῶνος περικλύονται. Ὁ δ' ὀφθαλμὸς μέσην ἔχων τὴν κόρην, περὶ ἣν ἡ σφενδόνη, τοῖς βλεφάροις καὶ βλεφαρίσι καλύπτεται· αἱ ὀφρύες δὲ ὑπέρκεινται τῶν βλεφάρων.

## Μ΄. Περὶ χειρός.

Ἡ δὲ χείρ, ἀπὸ τοῦ καρποῦ ἀρχομένη, δακτύλους ἔχει πέντε·

ὧν ὁ μὲν πρῶτος ἀντίχειρ λέγεται· ὁ δὲ δεύτερος, λιχανὸς καὶ δεικτικός· ὁ δὲ τρίτος, καταπύγων καὶ μέσος· ὁ δὲ τέταρτος, παράμεσος· καὶ ὁ πέμπτος, ὠτίτης καὶ μικρός. Ἕκαστος δὲ ἔχει σκιταλίδας μὲν τρεῖς· κονδύλους δὲ ἢ ἄρθρα, τοσαῦτα· καὶ ὄνυχες ἑκάστῳ ἐμπεφύκασι. Κοίλη δὲ γενομένη ἡ χεὶρ δρὰξ, ἢ κόνδυλος καλεῖται· ἀνεῳγμένη δὲ, παλάμη· καὶ ταύτης τὸ μὲν ἐν μέσῳ κοῖλον, θέναρ, κοτύλη, καὶ γύαλον· τὸ δ' ἄνω ταρσὸς· ὥσπερ καὶ ἐπὶ ποδὸς εἴρηται· καὶ σπιθαμὴ μὲν λέγεται τὸ ἀπὸ τοῦ ἄκρου τοῦ ὠτίτου μέχρι τοῦ ἄκρου τοῦ ἀντίχειρος, ἀνεῳγμένης τῆς χειρὸς· τὸ δὲ ἀπὸ τοῦ ἄκρου τοῦ λιχανοῦ, μέχρι τοῦ ἄκρου τοῦ ἀντίχειρος, ἀνεῳγμένως κυνόστομον καλεῖται.

## ΜΑ. Περὶ τῶν ἐντὸς τοῦ σώματος.

Τοῦ δὲ σώματος πρῶτον μέν ἐστιν ὁ χρὼς καὶ ἡ ἐπιδερμὶς μετὰ τῶν ὑμένων· εἶτα ἡ σὰρξ, μετὰ τῶν μυώνων, σωλῆνες οἱ ἐν αὐτῇ, οἱ χόνδροι, τὰ ὀστᾶ, καὶ τὰ σπλάγχνα, ἢ ἔγκατα. Καὶ τοῦ μὲν χρωτὸς ἀφαιρεθέντος φαίνεται ἡ σὰρξ, καὶ οἱ μυῶνες, δι' ὧν τὰ μέλη κινεῖται· τὰ δὲ σπλάγχνα τὰ ἐνδότερα μέρη εἰσὶ τοῦ σώματος· οἷον· Ἐν μὲν τῇ κεφαλῇ ἐστιν ὁ ἐγκέφαλος, κρανίῳ καὶ περικρανίῳ περιβεβλημένος, ἐν τῷ στήθει δὲ, ἡ καρδία, τῷ περικαρδίῳ περικεκαλυμμένη· ὁ πνεύμων, ὁ τῆς ἀναπνοῆς γεννήτωρ· διὰ τούτου γὰρ ἡ εἴσπνοὴ καὶ ἐκπνοὴ γίνεται· ἐν δὲ τῇ γαστρὶ, ἡ κοιλία καὶ τὰ ἔντερα, τῷ ἐπιπλόῳ περιβεβλημένα· τὸ ἧπαρ, οὗ ἀντικείμενος ὁ σπλὴν, ἐξ ἀριστερῶν ὤν· δύο νεφροὶ, καὶ ἡ κύστις· τὸ δὲ στῆθος παχεῖ ὑμένι διαχωρίζεται· ὃς διάφραγμα διὰ τοῦτο καὶ λέγεται.

## ΜΒ΄. Περὶ φλεβῶν.

Αἱ φλέβες σωλῆνες εἰσί τινες τοῦ σώματος, τὸ αἷμα ἐκ τοῦ ἡ-

Ε.Ε.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πατος δεχόμεναι· αἱ δ' ἀρτηρίαι τὴν θερμότητα καὶ ζωὴν ἐκ τῆς καρδίας. Ἐκ γὰρ τοῦ δεξιοῦ τῆς καρδίας γαστριδίου ἐξαντλούμενον τὸ αἷμα, διὰ τῶν ἀρτηριῶν εἰς ἅπαντα τά τε ἔσω καὶ τὰ ἔξω τοῦ σώματος μέρη μετοχετεύεται· εἶτα διαδεχόμεναι αὐτὸ αἱ φλέβες, εἰς τὸ δεξιὸν τῆς καρδίας ἐπανάγουσι γαστρίδιον· κἀντεῦθεν εἰς αὐτὴν αὐτὸ αὖθις εἰσχέουσι τὴν καρδίαν· καὶ οὕτως ἡ τοῦ αἵματος ἀποτελεῖται κυκλοφορία. Καὶ τὰ νεῦρα δὲ τὴν αἴσθησιν καὶ κίνησιν, ἐκ τοῦ ἐγκεφάλου, ἢ ὅθεν ἄλλοθεν, πηγάζοντα, τῷ ὅλῳ σώματι παρέχεται. Ταῦτα δὲ τὰ τρία, φλέβες, ἀρτηρίαι, καὶ νεῦρα, ἡνωμένα εὑρίσκεται πανταχοῦ. Ἐντὸς δὲ τοῦ αὐχένος δύο εἰσὶ σωλῆνες, ὧν ὁ μὲν εἰσοφάγος, ὁδός ἐστι τῆς τροφῆς καὶ τοῦ πόματος εἰς τὴν γαστέρα· ἡ δὲ τραχεῖα ἀρτηρία πρὸς ἀναπνοὴν κατεσκεύασται, ἧς ἡ κορυφὴ, λάρυγξ καλεῖται, γλωττίδι ἐπικαλυπτόμενος. Ἀπὸ δὲ τῆς γαστρὸς μέχρι τοῦ πρωκτοῦ διευθύνεται πρὸς τοῖς ἄλλοις ποικίλοις σπλάγχνοις, ὁ ἠθμὸς, ὅπερ ὀρθόν ἐστιν ἔντερον, ὃ καὶ πυλωρὸς λέγεται καὶ κῶλον, εἰς ἀποσκευὴν τῆς κόπρου ἐπιτήδειον. Ἀπὸ δὲ τοῦ ἥπατος πρὸς τὴν κύστιν, ὁ οὐρητὴρ, χρήσιμος πρὸς τὸ οὐρεῖν ὤν.

## ΜΓ'. Περὶ Ὀστέων.

Ὀστέα δὲ ἐν μὲν τῇ κεφαλῇ ἐστὶ τὸ κρανίον, αἱ δύο γνάθοι, ἢ σιαγῶνες, δύο πρὸς τοῖς τριάκοντα ὀδόντες· εἶτα ῥάχις, παντὸς τοῦ σώματος οἷα θέμεθλος οὖσα, κρίσις καλουμένη, καὶ ἐκ τριῶν καὶ τριάκοντα σπονδύλων συνισταμένη, ἵν' εὐκίνητον πρὸς ἑαυτὸ ᾖ τὸ σῶμα· αἱ δὲ πλευραὶ τέσσαρες πρὸς ταῖς εἴκοσιν εἰσί. Πρὸς δὲ τούτοις ἔστι καὶ τὸ τοῦ στήθους ὀστοῦν, καὶ δύο πλάται· τὸ τῶν μηρῶν ὀστοῦν· οἱ μυῶνες, τὰ μεταξὺ τοῦ τῶν μηρῶν ὀστοῦ καὶ τοῦ γόνατος· αἱ κνῆμαι, τὰ μεταξὺ τοῦ γόνατος καὶ τοῦ ἀστραγάλου, καὶ ἡ ἐμπρόσθιος καὶ ὀπίσθιος περόνη. Ἀριθμοῦσι δὲ ὀστᾶ, τῆς μὲν χειρὸς, ἑπτὰ πρὸς τοῖς εἴκοσι· τοῦ δὲ ποδὸς, τοσαῦτα, ἑνὸς δέοντος. Ἐν δὲ τοῖς ὀστέοις μυελός ἐστίν.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006

## ΜΔ΄. Περὶ τῶν αἰσθήσεων.

Αἱ αἰσθήσεις εἰσὶ πέντε, ὅρασις, ἀκοὴ, ὄσφρησις, γεῦσις, ἁφή· ὄργανα δὲ τούτων, ἰσάριθμα· ὀφθαλμοὶ, ὦτα, ῥὶς, στόμα, χεῖρες. Καὶ διὰ μὲν τῶν ὀφθαλμῶν, βλέπομεν τὰ χρώματα, τὶ λευκὸν δηλαδὴ ἢ μέλαν· χλορὸν ἢ γλαυκόν· ἐρυθρὸν ἢ ξανθὸν, ἢ χρυσαυγὲς, ἢ ὠχρὸν, ἢ πράσινον, ἢ κυανοῦν, ἢ πορφυροῦν, ἢ ἰῶδες, καὶ τὰ τοιαῦτα· διὰ δὲ τῶν ὤτων τῶν ἤχων ἀκούομεν, τῶν τε ἐνάρθρων, δι' ὧν ἐκφράζομεν τὰ διανοήματα ἡμῶν· καὶ μουσικῶν, ἐναρμονίων ὄντων, καὶ παντὸς ὁποιουδηποτοῦν γενομένου ψόφου· διὰ δὲ τῆς ῥινὸς τῶν ὀσφραντῶν δυσόσμων καὶ εὐόσμων ὀσφραινόμεθα· διὰ δὲ τοῦ στόματος, γευόμενοι τῶν γευστῶν, διαγινώσκομεν τῶν χυμῶν τοὺς γλυκεῖς καὶ πικροὺς, δριμεῖς καὶ ὀξῦς, στρυφνοὺς ἢ στυφοὺς, καὶ ὁπωσδηποτοῦν ἄλλως ἔχοντας· διὰ δὲ τῶν χειρῶν ἁπτόμενοι τῶν ἁπτῶν διαγινώσκομεν τὶ σκληρὸν καὶ μαλακὸν, τὶ τραχὺ καὶ λεῖον, τὶ θερμὸν καὶ ψυχρὸν, τὶ βαρὺ καὶ κοῦφον, καὶ εἴτι τοιοῦτον.

## ΜΕ΄. Περὶ δυσμόρφων καὶ τερατωδῶν ἀνθρώπων.

Τερατώδεις δὲ καὶ δύσμορφοι ἄνθρωποί εἰσιν οἱ τῆς κοινῆς φυσικῆς μορφῆς ἐκκλίνοντες. Τοιοῦτοι δ' εἰσίν· οἱ γίγαντες, νάνοι, καὶ ὅσοι γεννῶνται δύο ὁμοῦ, δύο μὲν κεφαλὰς, τέσσαρας δὲ χεῖρας καὶ ἴσους πόδας ἔχοντες. τούτοις δὲ προστίθενται, ὁ μεγαλοκέφαλος, ὁ μεγαλόῤῥιν, ὁ πρόχειλος καὶ χείλων· ὁ γνάθων, ὁ στραβὸς, οὗ οἱ ὀφθαλμοὶ βεβλαμμένοι, θλισσὸς, κυρτὸς, ῥοξὸς, φαλακρός. Ἀλλὰ γὰρ οὐκ εἰς χλεύην, γνώσεως δὲ τῶν ὀνομάτων ἕνεκα προστίθεται ταῦτα ἐν τοῖς δε.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Μϛʹ. Περὶ Συγγενείας.

Συγγενείας δ' ὀνόματα, ἀνιόντων μὲν πατὴρ, μήτηρ, εἶτα πάππος, ἢ πρόγονος, τήθη, ἢ μάμμη· εἶτα πρόπαππος, προτήθη, ἔπειτα ἐπίπαππος, ἐπιτήθη· κατιόντων δὲ, υἱὸς, θυγάτηρ, ἔκγονος, ἀπόγονος· δισέκγονος, τρισέκγονος· καὶ τλ. ἐκ πλαγίου δὲ, ἀδελφὸς, ἀδελφή· πάτρως, ἢ θεῖος πρὸς πατρὸς, θεῖος πρὸς μητρός· τιτθὶς, ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφή· ἀδελφιδοῦς, ἀδελφιδῆ, θυγατριδοῦς, θυγατριδῆ· ἀνεψιός, ἀνεψιά, ἐξανεψιός, ἐξανεψιά· ἀνεψιαδοῦς, ἀνεψιαδῆ· ἐκ γάμου δὲ, ἀνὴρ, γυνή· κηδεστὴς ἢ πενθερός· μνηστὴρ, μνηστὴ, γαμβρὸς, νύμφη· νυμφίος· γάλως, ἡ τοῦ ἀνδρὸς ἀδελφὴ, δαὴρ, ἢ εἰνατὴρ, ὁ τοῦ ἀνδρὸς ἀδελφός· σύγγαμβρος, ἐγγυητή.

## ΜΖʹ. Περὶ Γεωργικῆς τέχνης.

Τῶν δὲ τεχνῶν ἡ γεωργικὴ ἐστιν ἡ πρωτίστη καὶ ἀρίστη· αὕτη γὰρ πορίζεται ἀνθρώποις τὸ ἀναγκαιότατον πάντων, τὴν τροφήν. Πρὸς δὲ τὸ γεωργεῖν τὴν γῆν τὸ ἄροτρον εὕρηται· τοῦ δὲ ἀρότρου ἔστι ζυγὸς, ὁ ἐπιτιθέμενος τοῖς λαιμοῖς τῶν βοῶν, καὶ τοῖς ζεύγλοις ζευγνύμενος· ἐκ τούτου δὲ δι' ἱμάντος ἢ λώρου ἤρτηται τὸ ἄροτρον· κατὰ γὰρ τὴν μέσην τέτρηται ὁ ζυγός. ἐν τῇ ὀπῇ δὲ ταύτῃ ἐμβάλλεται κερκὶς, ἣ καλεῖται ἔμβρυον· περὶ ὃ καθάπτεται ὁ ἱμὰς, μεσόβοιον καλούμενος· ᾧ δὲ ὁ ζυγὸς ἐνήρμοσαι τῷ ἀρότρῳ, καλεῖται ἔλυμα· ἅπαν δὲ τὸ ξύλον τὸ ἐκτεινόμενον ἀπὸ τοῦ ζυγοῦ μέχρι πρὸς τὰ λοιπὰ, ῥυμὸς ὀνομάζεται· καὶ τὸ μὲν γεγομφωμένον αὐτοῦ γύης καλεῖται· τὸ δὲ μετὰ τὸν γύην, ἱστοβοεύς· τὸ δὲ εὐθὺ μέχρι τοῦ ζυγοῦ ἔλυμα· τὸ δὲ τέλος αὐτοῦ τὸ μετὰ τὸν ζυγὸν, κορώνη· τὸ δὲ κατόπιν ξύλον, οὗ ἔχεται ὁ ἀρότης, ἐχέτλη καλεῖται· αὐτὸ δὲ τὸ κοῖλον αὐτοῦ, καθ' ὃ τὴν χεῖρα ἐφαρμόζει, χειρολαβίς· οὗ δὲ πέπηγεν ἡ ἐχέτλη, ἀλύη· τὸ δὲ ἀροῦν σιδήριον, ὕνις· ἧς τὸ ἄκρον νύμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. του Κ.τ.Ν. ΙΩΑΝΝΙΝΑ 2006

φη· Οὕτως οὖν τοῦ ἀρότρου ἔχοντος, ὁ γεωργὸς ζεύγνυσι τοὺς βόας, καὶ ἀροῖ τὴν γῆν, αὔλακας διατέμνων· εἶτα καταβάλλει τό σπέρμα· καὶ τῷ βολοκόπῳ τὰς βώλους διαλύει. Ὁ δὲ θεριστὴς θερίζει τὸ λήϊον, δρεπάνῳ χρώμενος, καὶ δράγματα ποιεῖ ἢ ἀμάλλας, ἐξ ὧν δέσματα· ἃ δὴ εἰς θημωνίας ἐπισωρεύεται. Ὁ δὲ ἀλωεὺς ἀλωᾷ ἐν τῇ ἅλῳ τὸν σῖτον· λικμᾷ δὲ τῷ πτύῳ, καὶ ἀποκαθαίρει τῷ προκάνῳ· καὶ ὅταν ὁ σῖτος καὶ τὸ ἄχυρον διακριθῶσιν ἀπ' ἀλλήλων, τὸν μὲν σῖτον εἰς σάκκους, καὶ εἰς ἀποθήκας ἐντίθησι· τὰ δὲ ἄχυρα εἰς ἀχυρῶνας. Τὸν δέ τοι χόρτον κόπτουσι μὲν καὶ τῷ δρεπάνῳ, χρῶνται δὲ καὶ τῇ ἅρπῃ· καὶ εἰς θημωνίας ἐπισωρεύουσι, συλλέγοντες τῷ δικράνῳ.

## ΜΗ΄. Περὶ Κτηνοτροφίας.

Δευτέρα δὲ μετὰ τὴν γεωργικὴν τέχνην ἐστὶν ἡ κτηνοτροφία· πολύ τι τὸ ὠφέλιμον εἰς τὸν βίον παρέχουσα. Τῶν οὖν κτηνοτρόφων ὁ μὲν βοηλάτης ἐκκαλεῖται τὰς βοῦς ἐκ τῶν βουστάθμων τῷ κέρατι, καὶ πρὸς βοσκὴν ἐξάγει τὴν ἀγέλην· ὁ δὲ ποιμὴν, εἰς νομὴν ἐξάγει τὸ ποίμνιον, σύριγγα ἢ αὐλοὺς, καὶ πήραν, καὶ βάκτρον μεθ' ἑαυτοῦ φέρων, μηλωτῇ ἐνδεδυμένος· ἔχει δὲ καὶ κύνας μεθ' ἑαυτοῦ, τοὺς λύκους τῆς ποίμνης ἀποδιώκοντας· νυκτὸς δ' ἐπελθούσης, εἰς τὴν μάνδραν κλείει τὰ πρόβατα· ἔνθα τῆς θηλῆς ἐπιλαμβανομένη ἡ ἀγρονόμος, ἀμέλγει αὐτὰ ἐν ταῖς πέλλαις ἢ ἀμολγεῦσιν. Ἐκ δὲ τοῦ γάλακτος γίνεται βούτυρον, καὶ τυρὸς· τῇ πιτύᾳ τοῦ πίαρος ξυμφυρομένου. Κείροντες δὲ τὰ πρόβατα, ἐκ τῶν ἐρίων ποιοῦμεν ἐσθῆτας. Ὁ γεμὴν συβότης, τοὺς σῦς ἐν τῇ συβοσίᾳ σιτευόμενος, πιαίνει.

## ΜΘ΄. Περὶ Μελιτουργίας.

Κἀκ τῆς μελιτουργίας δὲ πολλὴν τὴν ὠφέλειαν ἔχομεν ἄνθρω-

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΙΔΑΓΩΓΙΚΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποι· μέλι καὶ κηρὸν λαμβάνοντες. Τὸ μὲν οὖν πλῆθος τῶν μελισσῶν ἑσμὸς καλεῖται καὶ σμῆνος, ἔνθα δὲ οἰκοῦσι, σίμβλα καὶ σίμβλοι· καὶ τὸ μὲν ἔργον αὐτῶν, μελιπτουργεῖν· βλήττειν δὲ, τὸ καπνίζειν καὶ ποιεῖν ἀναχωρεῖν. Καὶ ὁ μὲν ἡγεμὼν τῶν μελισσῶν βασιλεὺς λέγεται, ᾧ ἕπονται πᾶσαι· τὰ δὲ ἔκγονα, σχαδόνες, ὥσπερ καὶ τὰ ἀργὰ, κηφῆνες· τὰ δ' ἀγγεῖα κύτταροι· καὶ ὁ ἦχος βόμβος· καὶ τὰ ἔργα κηρία, μέλι, μελίκηρα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Μ΄. Περὶ Μύλης.

Ἡ δὲ μύλη κατὰ τέσσαρας τρόπους ἀλήθει· τοὺς μὲν πυροὺς, καὶ ποιεῖ ἄλευρα, τὰς δὲ κριθὰς, καὶ ποιεῖ ἄλφιτα. Ἢ γὰρ διὰ χειρὸς, καὶ ὀνομάζεται χειρόμυλος, στρέφεται, στρογγύλος λίθος ἐπὶ στρογγύλου διὰ λαβῆς· ἢ διὶ ὕδατος, καὶ καλεῖται μῦλος ἁπλῷ ὀνόματι· ἢ δὶ ἀνέμου, καὶ προσαγορεύεται ἀνεμόμυλος. ἔστι δ' ἔνθα καὶ ἐν νηΐ ὢν, ἀπὸ τόπου εἰς τόπον μετακομίζεται ἐπὶ ποταμῶν· κληθήτω δ' οὗτος ὁ μῦλος, ναυτικός.

## ΝΑ΄. Περὶ Ἀρτοποιΐας.

Ὁ δὲ ἀρτοποιὸς, πρῶτον μὲν κοσκινίζει διὰ κοσκίνου τὸ ἄλευρον, διαιρῶν τῶν πιτύρων· εἶτα εἰς σκάφην ἐνθεὶς, ζυμοῖ, καὶ ζύμην ποιεῖ· ᾗ χρῆται πρὸς ὅλον τὸ φύραμα· κἀκ τούτου ζυμωθέντος, πλάττει ἐπὶ τοῦ πλαθάνου, καὶ ποιεῖ ἄρτους· οὓς διὰ τοῦ πτύου εἰς κλίβανον κεκαυμένον ἐμβάλλει· ἐκφορήσας πρῶτον τοὺς ἄνθρακας, καὶ τῇ ἀπομάκτρᾳ περικαθάρας τὸν κλίβανον. Τοῦ δὲ ἄρτου τοῦ μὲν ἔξω τὸ ἄνω λέγεται ἀττάραγος· τὸ δὲ κάτω, ἐψηθίαι· τὸ δ' ἐντὸς ψὶξ ἢ ψίχη· τεμάχια δὲ ἄρτων τὰ τμήματα· καὶ θρύμματα τὰ ἐκ τούτων· καὶ τὰ λεπτότατα ψιχία.

## ΝΒ΄. Περὶ Ἁλιευτικῆς.

Ὁ δὲ ἁλιεὺς ἀγρεύει τοὺς ἰχθῦς, ἤτοι ἐπὶ πέτρας καθήμενος,

Ε.Σ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006